22-11-2021 ΟΡΘΡΟΣ ΟΣΙΟΥ ΙΑΚΩΒΟΥ ΤΟΥ ΕΝ ΕΥΒΟΙΑ.

† Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Φιλήμονος, καὶ τῶν σὺν αὐτῷ, Ἀπφίας, Ἀρχίππου καὶ Ὀνησίμου, καὶ τῆς Ἁγίας Μάρτυρος Κικιλίας, καὶ τῶν σὺν αὐτῇ.

† Μνήμη τοῦ Ὁσίου Ἰακώβου τοῦ ἐν Εὐβοίᾳ.

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος γ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκια.

Ἦχος γ΄. Θείας πίστεως.

Χαίρει ἔχουσα, σὲ παραστάτην, ἡ πολύφημος νῆσος Εὐβοίας, καὶ τοῦ ὁσίου Δαυΐδ ἐπαγάλλεται, ἡ θεία Μάνδρα τὸν τάφον σου ἔχουσα, θεοχαρίτωτε πάτερ Ἰάκωβε, σὺ γὰρ χάριτας, βλυστάνεις ἡμῖν ἑκάστοτε, ὡς ῥεῦμα Παρακλήτου ἀνεπίσχετον.

Ἕτερον Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Εὐβοίας τὸν ἔφορον, καὶ κοινοβίου Δαυΐδ, σεπτὸν προεξάρχοντα, καὶ τοῦ λαοῦ ποδηγόν, Ἰάκωβον ὅσιον, δεῦτε ἐν εὐφροσύνῃ, καταστέψωμεν ὕμνοις, οὗτος γὰρ ἐντυγχάνει, τῷ Χριστῷ ὑπὲρ πάντων, παρέχει δὲ τοῖς ἀνθρώποις, χάριν καὶ ἔλεος.

Δόξα. ..Ἕτερον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν ὁσίων πατέρων τὰ κατορθώματα, ἐν ἐσχάτοις τοῖς χρόνοις, ζηλώσας Ὅσιε, ἀνεδείχθης μιμητὴς τούτων Ἰάκωβε, ἐν τῇ Μάνδρᾳ τοῦ Δαβίδ, τοῦ προστάτου σου σεμνέ, ποιμάνας ταύτην ἐνθέως· διὸ σὺν τούτῳ μὴ παύσῃ, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε, τῆς οἰκονομίας τοῦ κτίστου ἡ ἐκπλήρωσις.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

Καθίσματα

Μετὰ τὴν α΄ στιχολογίαν,

Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Ἰάκωβον σεμνόν, Λιβισίου τόν γόνον, καί μέγαν ἀσκητήν, ἐν ἐσχάτοις τοῖς χρόνοις, τόν ὅσιον ἡγούμενον, ἐπαινέσωμεν ᾄσμασιν· ὡς γάρ ἄγγελος, ἐπί τῆς γῆς ἐπεγνώ-

σθη, τά ἀθροίσματα, τῶν ὀρθοδόξων παιδεύων, τοῖς θείοις διδάγμασι.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς. Ὅμοιον.

Δικαίων ὁ καρπός, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἣν ηὐλόγησεν, ὁ ἱερὸς Ζαχαρίας. Ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

Μετὰ τὴν β' στιχολογίαν,
Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Ὁ τάφος σου πηγή, ἁγιάσματος ὤφθη· ἰᾶται γάρ πιστῶν, τά νοσήματα πάντα, καί δίδωσι παράκλησιν, τοῖς πενθοῦσι καί κλαίουσι, καί τά πνεύματα, τά πονηρά ἐκδιώκει, διά τοῦτό σε, ὡς τοῦ Χριστοῦ ὄντως δοῦλον, Ἰάκωβε μέλπομεν.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς
Ἦχος δ'.Κατεπλάγη Ἰωσήφ.

Πρὸ συλλήψεως, ἁγνή, καθηγιάσθης τῷ Θεῷ· καὶ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προ σήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. Τῷ θείῳ δὲ ναῷ, ὡς θεῖος ὄντως ναός, ἐκ βρέφους καθαρῶς, μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου φωτός. Μεγάλη ὄντως, ἡ πρόοδος σου, μόνη Θε όνυμφε καὶ ἀειπάρθενε.

Μετὰ τὸν πολυέλεον,
Ἦχος γ'. Την ωραιότητα

Πάτερ Ἰάκωβε, ἐν τῇ καρδίᾳ σου, ἔσχες τόν Κύριον, τόν Παντοκράτορα, διό τά τόξα τοῦ ἐχθροῦ, συνέτριψας καί ἔχαιρες, ὥσπερ δέ οἱ ἄγγελοι, τό σόν πρόσωπον ἔλαμπεν, ὅτε τήν οὐράνιον, λειτουργίαν προσέφερες, καί πᾶσι τήν σήν χάριν ἐχορήγεις, τοῖς λόγοις καί τοῖς τρόποις σου μακάριε.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς.
Ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος θεία λαμπάς· καὶ χαίρει εἰσερχομένη ἐν τῷ ναῷ, ἣν καὶ βλέπων ηὐλόγησεν, ὁ Βαραχίου υἱός, καὶ χαίρων ἀ νεκραύγαζε· Χαῖρε, θαῦμα παγκόσμιον.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.
Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον Ἦχος δ'

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. (δὶς)

*Στίχ.* Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

*Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου*

*Ἦχος β΄.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

*Εὐαγγέλιον·*

*Ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ.*

*(Ζήτει ἐν τῷ Ὄρθρῳ τῆς ε΄Δεκεμβρίου).*

Δόξα σοι, Κύριε, δόξα σοι.

*Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλὴμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα....

Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν....

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὸ Ἰδιόμελον Ἦχος β'

Ὅσιε πάτερ, ὡς μεγαλόφωνος κήρυξ, καί ἱερουργός σεμνότατος, ἐν τῇ Μονῇ τοῦ Ὁσίου Δαυΐδ ἐξέλαμψας· ἔχων γάρ ἐν τῇ καρδίᾳ σου ἔνδον, πρός τόν φιλάνθρωπον Κύριον, τῆς ἀγάπης τό φίλτρον, διδάσκαλος ὤφθης, τῆς ἀρετῆς ἀκριβέστατος, ποδηγῶν πρός τά κρείττω, ρήμασι θείοις καί θαυμαστῇ βιοτῇ σου, τούς συνόντας σοι κοσμικούς καί μονάζοντας, οὕς καί τά νῦν, ταῖς πρός Χριστόν πρεσβείαις σου, μή παύσῃ φυλάττων ὅσιε Ἰάκωβε, ἐκ πάσης περιστάσεως.

*Σῶσον ὁ Θεός τόν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ')

*Ἐλέει καί οἰκτιρμοῖς...*

ΚΑΝΟΝΕΣ

Ὁ α' Κανών τῶν Εἰσοδίων

ᾠδὴ α' Ἦχος δ' - Ὁ Εἱρμός

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὴν Εἴσοδον. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σοφίας πανάχραντε, σὲ θησαυρὸν ἐπιστάμενοι, καὶ χάριτος βρύουσαν, πηγὴν ἀέναον, τὰς τῆς γνώσεως, αἰτοῦμέν σε ῥανίδας, ἐπόμβρησον Δέσποινα, τοῦ ἀνυμνεῖν σε ἀεί.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑπέρτερος Πάναγνε, τῶν οὐρανῶν χρηματίσασα, ναὸς καὶ παλάτιον, ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ἀνατίθεσαι, αὐτῷ ἑτοιμασθῆναι, εἰς θείαν κατοίκησιν, τῆς παρουσίας αὐτοῦ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ φῶς ἀνατείλασα, ἡ Θεοτόκος τῆς χάριτος, πάντας κατελάμπρυνε, καὶ συνηγάγετο τὴν ὑπέρλαμπρον, αὐτῆς κατακοσμῆσαι, πανήγυριν ᾄσμασι· δεῦτε συνδράμωμεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ πύλη ἡ ἔνδοξος, ἡ λογισμοῖς ἀδιόδευτος, τὰς πύλας διάρασα, τὰς τοῦ Ναοῦ τοῦ Θεοῦ, νῦν προτρέπεται, ἡμᾶς συνεισελθόντας, τὰ θεῖα θαυμάσια, κατατρυφῆσαι αὐτῆς.

Κανὼν α' τοῦ Ὁσίου, Ὠδὴ α'.

Ἦχος πλ. δ'. Αρματηλάτην Φαραώ.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Ἱερατείας τήν στολήν ἐνδέδυσαι, πάτερ Ἰάκωβε, καί τόν βίον ἔχων, ἐν πολλαῖς ἀσκήσεσι, εἰς ὄρος ἀνελήλυθας, ἀρετῶν τοῦ Κυρίου, καί τύπος πᾶσι γεγένησαι, ἐν ἐσχάτοις χρόνοις μακάριε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Ἀνεπιστρόφως τήν ὁδόν ἐβάδισας, τῶν ἐντολῶν τοῦ Χριστοῦ, ἶσος τῶν Πατέρων, τῶν πρό σοῦ γεγένησαι, Ἰάκωβε πανεύφημε, ἐν Εὐβοίᾳ αὐγάσας, τῷ σῷ φωτί τούς μονάζοντας, καί τούς κοσμικούς προσιόντάς σοι.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Κραταιωθείς ἀπό παιδός Ἰάκωβε, τοῦ Παρακλήτου αὐγαῖς , τῶν παθῶν τόν ὄχλον, ἀνδρικῶς ἐσκέδασας, καί ὤφθης τοῖς συνοῦσί σοι, εὐσεβείας ὁ κήρυξ, καί ὁ διδάσκαλος πίστεως· ὅθεν τήν σήν μνήμην γεραίρομεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ὡς ταπεινοί σου ὑμνηταί Θεόνυμφε, καθικετεύομεν, ταῖς λιταῖς σου Μῆτερ, τῷ Υἱῷ σου πρέσβευε, ἵνα σωθῶμεν ἅπαντες, τῆς φλογός τῆς γεένης, καί ἵνα τύχωμεν χάριτος, διά τά πολλά ἡμῶν πταίσματα.

Κανὼν β΄ τοῦ Ὁσίου,. Ὠδὴ α΄.
Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Τὰ πάθη τοῦ σώματος καὶ ψυχῆς, ὡς ἔχων τὴν χάριν, τοῦ Κυρίου σου Ἰησοῦ, Ἰ άκωβε πάτερ θεραπεύεις, τῶν ἐκζητούντων τὴν σὴν ὑποστήριξιν.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Ἡ χείρ σου ἰάτρευσε θαυμαστῶς, κατ᾽ ὄναρ τὸ ὄμμα, ἐν τῇ Κύπρῳ τοῦ ἀσθε νοῦς, συντρίψας ὀφρὺν τοῦ ἀντιδίκου, θεοχαρίτωτε πάτερ Ἰάκωβε.

Δόξα...

Νικαίας ποιμένος τῆς κεφαλῆς, αἱμάτωμα πάτερ, διαλύεις ταῖς σαῖς εὐχαῖς, ποιήσας Σταυροῦ τοῦ ζωηφόρου, τὸ θεῖον σχῆμα, Ἰάκωβε ὅσιε.

Καὶ νῦν ... Θεοτοκίον

Σωτῆρα κυήσασα τῶν βροτῶν, γενοῦ μοι ἐν βίῳ, κυβερνῆτις καὶ βοηθός, πανά χραντε κόρη Θεοτόκε, διασκεδάζουσα πάθη τὰ ἄτοπα.

Κανὼν α΄ τῆς ἑορτῆς
ᾠδὴ γ΄ Ἦχος δ΄
Ὁ Εἱρμὸς

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, κἂν τῇ σεπτῇ Εἰσόδῳ σου, στεφάνων δόξης ἀξίωσον. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νυμφοστόλος σήμερον ἐδείχθη, τερπνὸς τῆς Παρθένου ὁ ναός, καὶ θάλαμος δεχόμενος, τὴν ἔμψυχον παστάδα Θεοῦ, τὴν καθαρὰν καὶ ἄμωμον, καὶ λαμπροτέραν πάσης κτίσεως.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δαυῒδ προεξάρχων τῆς χορείας, σκιρτᾷ καὶ χορεύει σὺν ἡμῖν, καὶ Βασιλίδα κράζει σε, πεποικιλμένην Ἄχραντε, παρισταμένην πάναγνε, ἐν τῷ ναῷ τῷ Βασιλεῖ καὶ Θεῷ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐξ ἧς ἡ παράβασις προῆλθεν, ἡ πάλαι τῷ γένει τῶν βροτῶν, ἐκ ταύτης ἡ ἀνόρθωσις, καὶ ἀφθαρσία ἤνθησεν, ἡ Θεοτόκος σήμερον, προσαγομένη ἐν τῷ οἴκῳ Θεοῦ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σκιρτῶσιν Ἀγγέλων στρατηγίαι, καὶ πάντων ἀνθρώπων ἡ πληθύς, καὶ πρὸ προσώπου Πάναγνε, προστρέχουσί σου σήμερον, λαμπαδηφόροι κράζουσαι, τὰ μεγαλεῖά σου ἐν οἴκῳ Θεοῦ.

Κανὼν α' τοῦ Ὁσίου

Ἦχος πλ. δ'. Ὁ στερεώσας κατ' αρχάς

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Βαρυαλγοῦντας ἀσθενεῖς, ἰατρεύσας θεοφόρε, καθηγούμενε Ἰάκωβε λιταῖς σου· παρρησίαν γάρ πολλήν, ἐκ τοῦ Δεσπότου εἴληφας, καί χάριν ἰαμάτων, ὡς ἀμοιβήν τῶν καμάτων σου.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Ἐν τῷ ἀέρι θαυμαστῶς, ἐνεφανίσθης θεόφρον, καί ἐκράτησας χερσί σου ἁγίαις, ἀερόπλοιον δεινῶς, τρωθέν πάτερ Ἰάκωβε, ὑπό σφοδρῶν πληγμάτων, τῶν κεραυνῶν ἀξιάγαστε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Λύσας τάς πλάκας τῆς σαρκός, ταῖς σαῖς ἀσκήσεσι πάτερ, καί τῇ χάριτι Ἰάκωβε Κυρίου, ὡς ἐλεύθερον πτηνόν, ἀνήχθης πρός τά δώματα, τοῦ οὐρανοῦ μετέχων, ζωῆς ἀφάτου λαμπρότητος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ἰσχύϊ σου τοῦ πονηροῦ, σύντριψον κέντρα κακίας, καί τά τόξα πονηρίας τά ποικίλα, προφυλάττουσα πιστούς, Παρθένε τούς ὑμνοῦντάς σε, καί ἐκζητοῦντας πόθῳ, τήν σήν ἁγίαν ἀντίληψιν.

Κανὼν β' τοῦ Ὁσίου

Ἦχος πλ. δ'. Οὐρανίας ἁψῖδος.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Ἡ ἁγία μονή σου, ὡς θησαυρὸν ἔχουσα, τάφον σου Ἰάκωβε πάτερ, σκιρτᾷ καὶ γάννυται, ὅτι τοῖς πάσχουσι, παρέχεις χάριν καὶ ἄκος, τοῖς ἐν πίστει ἅγιε, ἀσπα ζομένοις σε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν

Νοσημάτων παντοίων, θαυματουργὸν γέγονεν, ὅσιε τὸ ἔλαιον ὄντως, τοῦ θείου τάφου σου, πολλοὺς γὰρ ἔσωσεν, ἐκ σαρκικῶν ἀλγηδόνων, ὥσπερ ἐν τῇ μάνδρᾳ σου, σεμνὸν μονάζοντα.

Δόξα...

Πυρωθεὶς ἐγκαρδίως, ἐξ ἀγαθοῦ ἔρωτος, πρὸς τὸν σὸν Δεσπότην θεόφρον, πᾶ σαν προσπάθειαν, ὅλως ἀπέῤῥιψας, καὶ τὴν ὁδὸν μοναζόντων, ὅσιε Ἰάκωβε, χαί ρων ἐβάδισας.

Καὶ νῦν ... Θεοτοκίον

Ὁ ἐχθρός με πειράζει, τοῖς λογισμοῖς πάντοτε, τῆς ἀπελπισίας, Παρθένε· ἀλλὰ πρεσβείαις σου, τὰ νέφη σκέδασον, τῶν λυπηρῶν βιοτῆς μου· σὺ γὰρ ὤφθης, πά ναγνε, χαρᾶς τὸ αἴτιον.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τόν νέον Ἰάκωβον, καί ἀσκητήν θαυμαστόν, ὑμνήσωμεν ἅπαντες, οἱ προσκυνοῦντες αὐτοῦ, τόν τάφον φιλάγιοι· οὗτος γάρ ἀνετέθη, ἐκ μικρᾶς ἡλικίας, ὥσπερ πάντιμον δῶρον, τῷ Χριστῷ καί Δεσπότῃ· διό καί ἀνεδείχθη, πιστῶν ὁ διδάσκαλος.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαβίδ, τίς ἡ παροῦσα ἑορτή, ἣν ἀνύμνησας ποτέ, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς θυγατέρα Θεόπαιδα καὶ Παρθένον; Ἀπενεχθήσονται εἰπών, τῷ βασι λεῖ μυστικῶς, παρθένοι ὄπισθεν αὐτῆς, καὶ αἱ πλησίον αὐτῆς· καὶ θαυμαστὴν ἐρ γάζου καὶ παγκόσμιον, τὴν ἑορτὴν τοῖς κραυγάζουσιν· Ἡ Θεοτόκος, ἡμῖν ἐπέστη, τῆς σωτηρίας ἡ πρόξενος.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Σὺ γάρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον.

Ἦχος γ'. Η Παρθένος σήμερον.

Τόν σεμνόν ἡγούμενον, τῶν μοναζόντων πατέρων, καί Δαυῒδ διάδοχον, ἐν τῇ Μονῇ τῆς Εὐβοίας, λάμψαντα, καθάπερ ἄστρον ἐν Ἐκκλησίᾳ, λόγοις τε καί εὐθσεβεῖ βιοτῇ ἐν πίστει, ἐπαινοῦμεν ἐκβοῶντες· χαίροις θεόφρον Ἰάκωβε ὅσιε.

Οἶκος.

Ἀπό βρέφους παμμάκαρ ἠγάπησας τόν Δεσπότην Χριστόν τόν φιλάνθρωπον, καί τήν τρίβον αὐτοῦ χαίρων ὥδευσας, ἀσκητικῶς βιοτεύσας ὡς ἄσαρκος, καί ἐκ ποικίλων παθῶν τήν καρδίαν σου, ταῖς προσευχαῖς καί νηστείαις ἐκάθηρας, τόν σόν νοῦν μονίμως μακάριε, στηρίξας πρός οὐράνια δώματα· ὅθεν σοι ἐδόθησαν ὅσιε, τοῦ Παρακλήτου ποικίλα δωρήματα· ἤγουν τό μέγα τῆς προοράσεως χάρισμα, καί νοσημάτων ἁπάντων πανάκεια, καί σύν τούτοις ἐγένου ἡγούμενος, κοινοβίου Δαυῒδ τοῦ προστάτου σου, κοσμικοῖς καί μονάζουσι προσπορίζων, ψυχῆς τά κατάλληλα· διά τοῦτο ἐπαινοῦμέν σε ἐκβοῶντες· χαίροις θεόφρον Ἰάκωβε ὅσιε.

Συναξάριον

Τῇ ΚΒ΄ τοῦ μηνός Νοεμβρίου, μνήμην ποιούμεθα τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου τοῦ ἐπονομαζομένου Τσαλίκη, καθηγουμένου τῆς ἱερᾶς μονῆς ὁσίου Δαβὶδ τοῦ ἐν Εὐβοίᾳ.

Στίχοι.

Ἰάκωβε ὅσιε, ἡμῶν τούς ὕμνους
Δέχθητι ὡς τά δύο λεπτά τῆς χήρας.

Ὡς ἄγγελος Θεοῦ Ἰάκωβος πρός πόλον ἤρθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Φιλήμονος, Ἀρχίππου, Ἀπφίας καὶ Ὀνησίμου, μαθητῶν γεγονότων Παύλου τοῦ Ἀποστόλου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Κικιλίας, Βαλλεριανοῦ, καὶ Τιβουρτίου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Μαρτύρων Μάρκου, Στεφάνου, καὶ ἑτέρου Μάρκου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Προκοπίου τοῦ ἐν Παλαιστίνῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μενίγνου τοῦ κναφέως.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ἀββᾶ.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Χριστοφόρος καὶ Εὐφημία ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Θαλλέλαιος καὶ Ἄνθιμος ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Κάλλιστος ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Θαδδαῖος, ἐν τροχῷ δεθείς, καὶ κατὰ πρανοὺς ἀφεθείς, τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἀγαπίωνος, Σισινίου Ἱερομάρτυρος, καὶ Ἀγαπίου.

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α΄. Ἦχος α΄.

Χριστὸς γεννᾶται δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ὠδὴ γ΄.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ΄.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄυλος καὶ Θεός. Δόξα τῇ δυνάμει Σου Κύριε.

Ὠδὴ ε΄.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς Σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν Σε, Φιλάνθρωπε.

Ὠδὴ ς΄.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ὠδὴ ζ΄.

Οἱ Παῖδες, εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω, ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

*Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...*

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος α΄)

*Στίχ.* Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Στίχ.* Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

*Στίχ.* Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

*Στίχ.* Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

*Στίχ.* Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

*Στίχ.* Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

*Καταβασία*

Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω Στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον, οὐρανὸν τὸ σπήλαιον θρόνον Χερουβικὸν τὴν Παρθένον τὴν φάτνην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὅν ἀνυμνοῦντες μεγαλύνομεν.

*Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις*

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

*Ἐξαποστειλάρια.*

*Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Τοῦ Λιβισίου βλάστημα, καὶ Φαράκλων οἰκήτωρ, Εὐβοίας νήσου καύχημα, καὶ πιστῶν παραστάτης, Μονῆς Δαβὶδ τοῦ ὁσίου, προεστὼς θεοφόρος, χαρίτων σκεῦος πάγχρυσον, καὶ προγνώσεως λύχνος, ἀειλαμπής, ἐγκρατείας πόνοις ἀκαταπαύ στοις, καὶ σαῖς πυκναῖς δεήσεσιν, Ἰάκωβε ἐγνώσθης.

*Τῆς ἑορτῆς. Γυναῖκες ἀκουτίσθητε.*

Ἣν πάλαι προκατήγγειλε, τῶν προφητῶν ὁ σύλλογος, στάμνον καὶ ῥάβδον καὶ πλάκα, καὶ ἀλατόμητον ὄρος, Μαρίαν τὴν Θεόπαιδα, πιστῶς ἀνευφημήσωμεν· σήμερον γὰρ εἰσάγεται, εἰς τὰ ἅγια τῶν ἁγίων, ἀνατραφῆναι Κυρίῳ.

ΑΙΝΟΙ . Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἦχος α΄.Πανεύφημοι μάρτυρες.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἐκ παίδων ἠγάπησας σφοδρῶς, ἀσκητῶν πολίτευμα, καί ἐν νηστείαις ἐσχόλαζες, καί ταῖς δεήσεσιν, ἔχων δέ πρός τοῦτο, καί τήν γνώμην σύμφωνον, σεμνέ τῶν εὐσεβῶν γεννητόρων σου· διό καί ηὔξανες, τῇ ἁγνείᾳ καί σεμνότητι, ἐπ᾽ ἐσχάτων, χρόνων Ἰάκωβε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρα.

Ὡς ἄγγελος ὤφθης ἐν Μονῇ, τοῦ Δαυΐδ πανόλβιε, διακριθείς ἐν ἀσκήσεσι, καί τοῦ θελήματος, ἐκκοπῇ ἐκ ρίζης, ἀσκητά Ἰάκωβε· διό καί ἐνεδύθης τά πάντιμα, ἀξίως ὅσιε, ἱερωσύνης τά ἱμάτια, ἁγιάζων, πιστῶς τά πληρώματα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Φιλόστοργος ὤφθης ἀληθῶς, ὡς ἱερομόναχος, ἐπιστηρίζων τήν ποίμνην σου ἐξ ἐπιθέσεων, τοῦ ἀντικειμένου, καί λύων Ἰάκωβε, πολλῶν ἐνεργουμένων σῇ χάριτι, τῶν προσιόντων σοι, τήν πικρίαν καί τήν ἄλυσιν, καί παρέχων, ψυχῶν τήν εἰρήνευσιν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὁ τάφος σου ὄλβος ἐν Μονῇ, ἐπεγνώσθη ὅσιε, καταπλουτίζων Ἰάκωβε, πολλοῖς χαρίσμασι, τούς ἀσπαζομένους, αὐτόν μετά πίστεως, καί πάντοτε ἰᾶται νοσήματα, ψυχῆς καί σώματος, καί σκεδάζει τήν ἀπόγνωσιν, τῶν ἀνθρώπων, τῶν προσερχομένων σοι.

Δόξα... Ἦχος πλ. α΄.

Ὅσιε πάτερ, ἔχων ἐν τῇ καρδίᾳ σου, τόν ἀγαθόν θησαυρόν κεκρυμμένον, πάντα ἀπέρριψας, τά γεηρά καί ὑλώδη, ἐπιθυμίαν ἔχων σύν Χριστῷ ἀναλῦσαι, καί αἰωνίως αὐτῷ συνεῖναι· ὅθεν ὁλοκαρδίως τόν Ἰησοῦν ἠγάπησας, καί λόγοις τε καί πολλοῖς σημείοις, γνωστόν τοῖς πᾶσι τοῦτον ἐποίησας, ὅν καθικέτευε πάτερ Ἰάκωβε, ὑπέρ τῆς ἁγίας Μονῆς σου, καί πάντων τῶν τιμώντων, τήν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. ..Τῆς ἑορτῆς. Ἦχος β΄.

Σήμερον τῷ Ναῷ προσάγεται, ἡ Πανάμωμος Παρθένος, εἰς κατοικητήριον τοῦ παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. Σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσάγεται. Ταύτῃ ἐκβοήσωμεν, ὡς ὁ Ἄγγελος·

Χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

Δοξολογία Μεγάλη. Ἦχος πλ. α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ’ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον

Ἦχος γ΄. Θείας πίστεως.

Χαίρει ἔχουσα, σὲ παραστάτην, ἡ πολύφημος νῆσος Εὐβοίας, καὶ τοῦ ὁσίου Δαυῒδ ἐπαγάλλεται, ἡ θεία Μάνδρα τὸν τάφον σου ἔχουσα, θεοχαρίτωτε πάτερ Ἰάκωβε, σὺ γὰρ χάριτας, βλυστάνεις ἡμῖν ἑκάστοτε, ὡς ῥεῦμα Παρακλήτου ἀνεπίσχετον.

ΕΝ ΤΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΑΝΤΙΦΩΝΑ ( *τῆς ἑορτῆς*)

*Ἀντίφωνον α΄*

*Στίχ.* Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Δεδοξασμένα ἐλαλήθη περί σοῦ ἡ πόλις τοῦ Θεοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ.* Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

*Ἀντίφωνον β΄*

*Στίχ.* Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

*Στίχ.* Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

*Στίχ.* Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

*Ἀντίφωνον γ΄*

*Στίχ.* Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

*Ἀπολυτίκιον.*

*Ἦχος δ΄*

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται· Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

*Στίχ.* Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

*Ἀπολυτίκιον.*

*Ἦχος δ΄*

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται· Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Στίχ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

Ἀπολυτίκιον.

Ἦχος δ'

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται· Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β' χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος δ'.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται· Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Τοῦ Ὁσίου

Ἦχος γ'. Θείας πίστεως.

Χαίρει ἔχουσα, σὲ παραστάτην, ἡ πολύφημος νῆσος Εὐβοίας, καὶ τοῦ ὁσίου Δαυΐδ ἐπαγάλλεται, ἡ θεία Μάνδρα τὸν τάφον σου ἔχουσα, θεοχαρίτωτε πάτερ Ἰάκωβε, σὺ γὰρ χάριτας, βλυστάνεις ἡμῖν ἑκάστοτε, ὡς ῥεῦμα Παρακλήτου ἀνεπίσχετον.

Ἕτερον Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Εὐβοίας τὸν ἔφορον, καὶ κοινοβίου Δαυΐδ, σεπτὸν προεξάρχοντα, καὶ τοῦ λαοῦ ποδηγόν, Ἰάκωβον ὅσιον, δεῦτε ἐν εὐφροσύνῃ, καταστέψωμεν ὕμνοις, οὗτος γὰρ ἐντυγχάνει, τῷ Χριστῷ ὑπὲρ πάντων, παρέχει δὲ τοῖς ἀνθρώποις, χάριν καὶ ἔλεος.

Ἕτερον.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τῶν ὁσίων πατέρων τὰ κατορθώματα, ἐν ἐσχάτοις τοῖς χρόνοις, ζηλώσας Ὅσιε, ἀνεδείχθης μιμητὴς τούτων Ἰάκωβε, ἐν τῇ Μάνδρᾳ τοῦ Δαβίδ, τοῦ προστάτου σου σεμνέ, ποιμάνας ταύτην ἐνθέως· διὸ σὺν τούτῳ μὴ παύσῃ, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

Τοῦ Ναοῦ.

Κοντάκιον Ἦχος δ'

'Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Ὁ καθαρώτατος Ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ἀπόστολος (τῇ ε' Δεκεμβρίου)

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Ψαλμὸς 149.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 5:22-6:2

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα (γ΄). Ἦχος βαρὺς.

Ἀγαθόν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.

Στίχ. Τοῦ ἀναγγέλλειν τῷ πρωΐ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.